Universitätsbibliothek Paderborn

# Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Synodvs Nicæna II. Generalis. Sub Hadriano papa I. anno DCCLXXXVII.

**Parisiis, 1644**

De vita sancti patris nostri Sabbae.

urn:nbn:de:hbz:466:1-15473

Visual Library

ANNO CHRISTI 787.

ὅτι ἐὰν ἐπιστρέψωμεν ἐπὶ τὴν προτέραν αἵρεσιν, ἀναθεματισμένοι καὶ καθῃρημένοι ἐσμέν.

Κωνσταντῖνος ὁ θεοφιλέστατος ἐπίσκοπος Κωνσταντίας τῆς Κύπρου εἶπε· πανίερε δέσποτα, εἰ μὲν ἐπιφέρονται λιβέλλοις, ἐπιδότωσαν· εἰ δὲ μή, ποιήτωσαν. καὶ εἴθ' οὕτως κρινεῖ ἡ ἁγία σύνοδος ἐπ' αὐτοῖς.

Οἱ δὲ ἔφασαν· ἔχομεν τοὺς λιβέλλοις ἑτοίμοις, καὶ δώσομεν αὐτούς.

Οἱ ἐνδοξότατοι ἄρχοντες εἶπον· ἔχουσι τοὺς λιβέλλους αὐτῶν μετὰ χεῖρας, καὶ ἕτοιμοί εἰσι τοῦ ἐπιδοῦναι.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· ἐν τῷ τέως τὰ ὑπόλοιπα περὶ τῆς προκειμένης ζητήσεως τῶν κανόνων ἀναγνωσθήτω.

Κοσμᾶς ὁ εὐλαβέστατος διάκονος καὶ νοτάριος τοῦ πατριαρχείου ἀνέγνω.

Ἐκ τοῦ βίου τοῦ ὁσίου πατρὸς ἡμῶν Σάββα.

Τῆς τοίνυν ἁγίας καὶ οἰκουμενικῆς πέμπτης συνόδου τῆς ἐν Κωνσταντινουπόλει συναθροισθείσης, κοινῷ καὶ καθολικῷ καθυπεβλήθησαν ἀναθέματι Ὠριγένης τε καὶ Θεόδωρος ὁ Μοψουεστίας, καὶ τὰ περὶ προϋπάρξεως καὶ ἀποκαταστάσεως Εὐαγρίῳ καὶ Διδύμῳ εἰρημένα, παρόντων τῶν τεσσάρων πατριαρχῶν, καὶ τούτοις συναινούντων. τοῦ μὲν τοι θεοφυλάκτου ἡμῶν βασιλέως ἀποστείλαντος ἐν Ἱεροσολύμοις τὰ ἐν τῇ συνόδῳ πραχθέντα, καὶ πάντων τῶν κατὰ Παλαιστίνην ἐπισκόπων χειρὶ καὶ στόματι ταῦτα βεβαιωσάντων καὶ κυρωσάντων, πλὴν Ἀλεξάνδρου τοῦ Ἀβίλλης, καὶ διὰ τοῦτο τῆς ἐπισκοπῆς ἐκβληθέντος, καὶ ἐν τῷ Βυζαντίῳ ὑπὸ σεισμοῦ καταχωσθέντος· οἱ μὲν Νεολαυρῖται

si reuersi fuerimus ad priorem hæresim, depositi sumus.

Constantinus Deo amabilis episcopus Constantiæ Cypri dixit: * . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . .

*Habent libellos suos præ manibus, & parati sunt dare.

Tarasius sanctissimus patriarcha dixit: Interim reliqua de proposita sanctorum quæstione Canonum legantur.

Cosmas reuerendissimus diaconus & notarius & cubuclesius venerabilis patriarchii legit.

* Gr. addit. Sacratissime domine, si quidem deferunt libellos, dent: sin minus, faciant. atque ita iudicabit sancta Synodus de ipsis. At illi dixerunt: Habemus libellos paratos, & dabimus illos. * Gloriosissimi principes dixerunt: Habent libellos suos præ manibus,

*De vita sancti patris nostri Sabbæ.*

Sanctæ venerabilis quintæ Synodi, quæ Constantinopoli congregata est, communi & vniuersali summissi sunt anathemati Origenes & Theodorus Mopsuestiæ, & ea quæ ab Euagrio & Didymo * dicta sunt, de eo videlicet, quod ante substantiam fuisse perhibebant, & quod de restitutione in statum pristinum fatebantur, consentientibus & præsentibus quatuor patriarchis. Cum autem Deo conseruandus imperator noster misisset Hierosolymam ea quæ in Synodo gesta sunt, & omnes episcopi Palæstinæ manu & ore confirmassent & roborassent, præter Alexandrum Abillæum, qui ob hoc ab episcopatu proiectus, & Byzantii a terræmotu obrutus est: noui quidam Laurenses a

* dicta sunt de præexistentia & restitutione,

catholica ſe ſeparauerunt communione. At vero patriarcha Euſtochius diuerſis modis eos aggreſſus, & per octo menſes admonitionem fecit circa illos, & precibus ſuis cum non valuiſſet eis perſuadere, quo eccleſiæ catholicæ communicarent, imperialibus iuſſionibus vſus, per Anaſtaſium ducem a noua illos Laura proiecit, prouinciamque totam ab eorum peſtilentia liberauit.

Taraſius ſanctiſſimus patriarcha dixit: Videtis quia octo menſes tranſegit archiepiſcopus rogans & longanimiter agens ſuper illos, quamquam noſſet eos præanathematizatos in Synodo. Igitur iam audiuimus canonica præcepta & ſynodicas denuntiationes & ſanctorum patrum cenſuras, quia omnes vno ſenſu accedentes a qualibet hæreſi receperunt.

Sancta Synodus dixit: Sic ſe veritas habet, niſi alia canonica cauſa ſit, quæ prohibeat.

Taraſius ſanctiſſimus patriarcha dixit: Ita placet omnibus?*

* Gr. ad. vt recipiamus eos?

Sancta Synodus dixit: Placet omnibus.

Reuerendiſſimi monachi dixerunt: Et nobis placet.

Taraſius ſanctiſſimus patriarcha dixit: Et iterum dicimus, ſi alia canonica cauſa, quæ deponat accedentem, non eſt, recipietur. ſine dubio namque oportet canonica conſeruari præcepta.

Reuerendiſſimi monachi dixerunt: Quia ſecundum ſex ſanctas & vniuerſales Synodos ſuſcipimus eos qui ex hæreſi con-

τῆς καθολικῆς ἑαυτοὺς ἐχώρισαν κοινωνίας· ὁ δὲ πατριάρχης Εὐστόχιος διαφόρως αὐτοὺς μεταχειρισάμενος, καὶ ἐπὶ ὀκτὼ μῆνας τῇ περὶ αὐτοὺς νουθεσίᾳ καὶ παρακλήσει χρησάμενος, καὶ μὴ πείσας αὐτοὺς τῇ καθολικῇ κοινωνῆσαι ἐκκλησίᾳ, βασιλικαῖς κελεύσεσι χρησάμενος, δι' Ἀναστασίου τοῦ δουκὸς τῆς νέας Λαύρας αὐτοὺς ἐξέωσε, καὶ τὴν ἐπαρχίαν πᾶσαν τῆς αὐτῶν ἠλευθέρωσε λύμης.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· ὁρᾶτε ὅτι ὀκτὼ μῆνας διετέλεσεν ὁ ἀρχιεπίσκοπος παρακαλῶν καὶ μακροθυμῶν ἐπ' αὐτοῖς, καίτοιγε εἰδὼς αὐτοὺς προαναθεματισθέντας ἐν τῇ συνόδῳ. τοιγαροῦν ἤδη ἠνωτισάμεθα τὰς κανονικὰς διατάξεις, καὶ τὰ συνοδικὰ παραγγέλματα, καὶ τῶν ἁγίων πατέρων τὴν ἀκρίβειαν· καὶ πάντες ὁμοφρόνως τοὺς προσερχομένους ἀπὸ αἱρέσεως τῆς οἱασοῦν ἀπεδέξαντο.

Ἡ ἁγία σύνοδος εἶπεν· οὕτως ἀληθῶς ἔχει, εἰ ἑτέρα κανονικὴ αἰτία οὐκ ἔστιν ἡ κωλύουσα.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· οὕτω στοιχεῖ πᾶσιν, ἵνα δεξώμεθα αὐτούς;

Ἡ ἁγία σύνοδος εἶπε· στοιχεῖ πᾶσιν.

Οἱ εὐλαβέστατοι μοναχοὶ ἐξεβόησαν· καὶ ἡμῖν ἀρέσκει.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπεν· καὶ πάλιν λέγομεν, ἐὰν ἑτέρα κανονικὴ αἰτία ἡ καθαιροῦσα τὸν προσερχόμενον οὐκ ἔστι, δεχθήσεται. πάντως γὰρ χρὴ τὰς κανονικὰς διατάξεις φυλάττεσθαι.

Οἱ εὐλαβέστατοι μοναχοὶ εἶπον· ὅτι κατὰ τὰς ἓξ ἁγίας καὶ οἰκουμενικὰς συνόδους δεχόμεθα τοὺς ἐξ αἱρέσεως ἐπι-

ANNO CHRISTI 787.

στρέφοντας, μὴ οὔσης τινὸς αἰτίας ἀπηγορευμένης ἐν αὐτοῖς.

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε· καὶ ἡμεῖς πάντες οὕτως ὁρίζομεν διδαχθέντες παρὰ τῶν ἁγίων πατέρων ἡμῶν.

Οἱ εὐλαβέστατοι μοναχοὶ εἶπον· ἐάν τινες ἀπελείφθησαν τῆς ἁγίας συνόδου μοναχοί, τί περὶ αὐτῶν γίνεται;

Ταράσιος ὁ ἁγιώτατος πατριάρχης εἶπε· πείσομεν αὐτοὺς ἐκ τῶν προαναγνωσθέντων κανόνων. ὅμως τίνος ἕνεκεν οὐκ ἀπήντησαν τῇ ἁγίᾳ ταύτῃ συνόδῳ;

Σάββας ὁ εὐλαβέστατος μοναχὸς εἶπεν· οὐκ οἶδα, ἀλλὰ καθ' ἑαυτούς εἰσιν.

Εὐθύμιος ὁ θεοφιλέστατος ἐπίσκοπος Σαρδέων εἶπε· καθὼς ἤδη παρεκαλέσαμεν, ἐλθέτωσαν αἱ βίβλοι, καὶ ἀναγνωσθήτωσαν· καὶ ἴδωμεν, εἰ δεῖ δέχεσθαι τοὺς ἀπὸ αἱρετικῶν χειροτονηθέντας.

Κωνσταντῖνος ὁ εὐλαβέστατος διάκονος καὶ νοτάριος εἶπεν· ἐπειδὴ ἐκελεύσατε περὶ τῶν χειροτονηθέντων ὑπὸ αἱρετικῶν ἀναγνωσθῆναι χρήσεις, μετὰ χεῖρας ἔχομεν τὰς βίβλους· καὶ εἰ κελεύετε, ἀναγνωσθήτωσαν.

Ἡ ἁγία σύνοδος εἶπεν· ἀναγνωσθήτωσαν.

Στέφανος ὁ εὐλαβέστατος μοναχὸς καὶ βιβλιοφύλαξ ἀνέγνω.

### Ἐκ τῆς ἐκκλησιαστικῆς ἱστορίας Ῥουφίνου.

Τοῦτον μὲν οὖν τὸν ἐμφύλιον διωγμὸν βραχὺν ὄντα πρότερον εἰς τὴν ἐπισκοπὴν ἀδελφῶν Μακεδόνιος ηὔξησεν. Ἀκάκιος δὲ καὶ Πατρόφιλος Μάξιμον τῶν Ἱεροσολύμων ἐξώσαντες, Κυ-

uertuntur, si non est in illis aliqua causa nefaria.

Tarasius sanctissimus patriarcha dixit: Et nos * ita definimus edocti a sanctis patribus nostris. * Gr. ad. omnes

Reuerendissimi monachi dixerunt: Si aliqui monachi sanctæ Synodo desunt, quid de illis fit?

Tarasius sanctissimus patriarcha dixit: Persuadebimus eis ex Canonibus qui prælecti sunt. attamen quamobrem non occurrerunt ad hanc sacram Synodum?

Sabbas reuerendissimus monachus dixit: Nescio, sed seorsum sunt.

Euthymius Deo amabilis episcopus Sardinorum dixit: Quemadmodum rogauimus, iam veniant libri, & legantur; & videamus, si oporteat suscipi eos qui ab hæreticis ordinati sunt.

Constantinus reuerendissimus diaconus & notarius dixit: Quoniam dixistis de ordinatis ab hæreticis legi exempla, præ manibus habemus libros: & si iubetis, legantur.

Sancta Synodus dixit: Legantur.

Stephanus reuerendissimus monachus & librorum custos legit.

### *De ecclesiastica historia Rufini.*

Hanc quidem intestinam persecutionem, cum breuis esset, primum in episcopatum transiliens Macedonius crescere fecit. Acacius autem & Patrophilus Maximum Hierosolymitanum expellentes, Cyrillum